e | rara

www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

**Bolzanio, Urbano**

**Venetiis, [Aug. 1496]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

[Aelii Dionysii de indeclinabilibus verbis]

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Visual Library

# ΑἸΛΙΟΥ ΔΙΟΝΥΣΙΟΥ, ΠΕΡΙ ἈΚΛΙΤΩΝ ῬΗΜΑΤΩΝ.

Τὰ εἰς βω λήγοντα ῥήματα βαρύτονα, ἂν μὲν ἐν τῇ πρὸ τέλους συλλαβῇ ἔχῃ τὸ ε μὴ ὑποτεταγμένον αὐτῷ τὸ ι, οὐ κλίνεται παρὰ τοῖς παλαιοῖς ἀπὸ παρακειμένου. οἷον, ἐστὶ τὸ ῥέμβομαι, καὶ σέβω σέβομαι. εὑρέθη δὲ παρὰ τῷ Σοφοκλεῖ ἐσέβην. Προσέθηκα δὲ μὴ ὑποτεταγμένον τὸ ι. ἐπεὶ ἐὰν ὑποτάσσηται τῷ ε τὸ ι, ἢ μόνον αὐτὸ τὸ ι ὑπάρχει, κλίνεται. οἷον τὸ λείβω, τὸ ἀμείβω, καὶ τὸ τρίβω, διὰ μόνου τοῦ ι. Ἰστέον οὖν ὅτι ὁ ἔσθω ἐνεστὼς, οὐκ ἔχει μέλλοντα τοῦ αὐτοῦ θέματος. οὔτε παρακείμενον. ἑτερόχρονος οὖν λέγεται, τὸ ἔδομαι. εἶτα ἀπὸ ἄλλου θέματος. τὸ ἔφαγον δεύτερος ἀόριστος. εἶτα παρακείμενος βέβρωκα. καὶ μέσος βέβρωθα. Ἰστέον ὅτι σκιάσω καὶ ἐσκίασται, καὶ ὅσα ἐστὶ τοιαῦτα κινήματα, ἀπὸ θέματός ἐστι τοῦ σκιάζω. ὁμοίως καὶ τὸ πελάσω, ἀπὸ τοῦ πελάζω. Τὰ διὰ εθω βαρύτονα, ἕως τοῦ παρατατικοῦ κλίνονται. νεμέθω. τελέθω. φαέθω. Τὰ εἰς θω, ἄχρι τοῦ ἐνεστῶτος κλίνεται. φθινύθω, μινύθω. Τὰ εἰς σκω βαρύτονα, ἄχρι τοῦ παρατατικοῦ κλίνεται. γηράσκω. γινώσκω. τιτρώσκω, καὶ ἄλλα πάμπολλα. τὸ δὲ δεδίδαχα καὶ τὸ διδάσκω, οὐ θέλουσιν ἀπὸ τοῦ διδάσκω κεκλίσθαι, ἀλλ' ἀπὸ τοῦ διδάχω. ἔνθεν ἡ διδαχή. ὡς ἰάχω, ἰαχή. Τὸ δὲ διδασκῆσαι παρὰ τῷ Ἡσιόδῳ, ὡς ἀπὸ περισπωμένου διδασκῶ. ὡς καὶ ἀπὸ τοῦ ἀσκῶ, ἀσκήσω. οὕτω δὲ, καὶ τὸ βοσκήσω. ὡς ἀπὸ τοῦ βοσκῶ περισπωμένου. τὸ δὲ βαρυνόμενον, ἄκλιτον ἐπὶ πᾶσιν ἔχει. Ὁ θνήξω μέλλων, ἀπὸ τοῦ θνήσκω. ὁ δὲ τέθνηκα παρακείμενος, ἀπὸ ἑτέρου θέματος. Τὸ ὀλέκω οὐ κλίνεται· ὀλέκοντο δὲ λαοί. οὐ γὰρ ὡς ἀπὸ πλέκω πέπλοκα καὶ πλέξω, οὕτω καὶ ἀπὸ τοῦ ὀλέκω ἔσται ὁ παρακείμενος εἰς κα καὶ μέλλων εἰς ξ. ἦν γὰρ τὸ ἐντελὲς, ὀλέσκω. ὡς ἀρέσκω μεθύσκω. καὶ κατὰ τὴν ἔνδειαν τοῦ σ, ὀλέκω. διὸ οὐ κλίνεται. Τὸ δὲ ὀλέσω ὤλεκα καὶ ἀπόλωλα, ὡς ἀπὸ περισπωμένου τοῦ ὀλῶ.

Τὰ διὰ τοῦ άνω βαρύτονα, ἕως τοῦ παρατατικοῦ κλίνεται· λιμπάνω· λαμβάνω· λανθάνω· ἁνδάνω· οἰδάνω· ἱζάνω·

Ἰστέον ὅτι ἔθος τοῖς δευτέροις ἀορίστοις, τὸ η τρέπειν εἰς α· ὡς τὸ λήθω, ἔλαθον, λήβω, ἔλαβον. Τὰ εἰς νω λήγοντα βαρύτονα διὰ τοῦ ε παραληγόμενα, οὐ μεμελέτηκεν ὑπὸ τοῦ παρακειμένου κλίνεσθαι· φαίνω· τιταίνω· πένω· καὶ πένομαι· τὸ δὲ μένω, μεμένηκα κατὰ τὸν παρακείμενον, ὡς ἀπὸ περισπωμένου κλίσιν πεποίηται· ὡς δονῶ, δεδόνηκα· ἔχει μέντοι μέσον παρακείμενον τὸν μέμονα· ἔχει δὲ καὶ πρῶτον ἀόριστον τὸν ἔμεινα. Τὸ ὀδύνω, οὐ κλίνεται εἰ μὴ ἕως τοῦ παρατατικοῦ. Πέμπτη ἡ συζυγία ἡ τῶν ἀμεταβόλων, ἐὰν ἔχῃ τὴν πρώτην συλλαβὴν δεδιπλασιασμένην· καὶ τὴν καταλήγουσαν εἰς ἀμετάβολον οὐ τηρεῖται ἐπὶ τῶν παρεληλυθότων κλίσιν· μαρμαίρω· παμφαίνω· κἂν ἔχῃ τὸ πᾶν, οὐ κλίνεται· τὸ φύρω κλίνεται πέφυρκα καὶ φύρσω. Τὰ διὰ τοῦ μνω ἢ μω· οἷον κάμνω· τέμνω· μίμνω· τέμω· δέμω· βρέμω· ἐπεὶ οὐ δύναται τὸ κ πρὸ τοῦ μ μένειν, ὥστε ἡ συνταξία τῶν τοιούτων παρῃτήσατο τὴν εἰς παρακείμενον καὶ ὑπερσυντέλικον κλίσιν· διὸ οὐδὲ οἱ παθητικοὶ παρακείμενοι καὶ ὑπερσυντέλικοι συνίστανται· ἐπειδὴ οὐδὲ οἱ ἐνεργητικοὶ ἀόριστοι συστῆναι· ἔδειμα γοῦν καὶ ἔτειμα· ὁ μέντοι νενέμηκα παρεληλυθὼς, ἀπὸ περισπωμένου τοῦ νεμῶ γέγονεν ὡς ταμῶ τετάμηκα. Τὰ εἰς ω λήγοντα βαρύτονα ἔχοντα δύο σύμφωνα κατ' ἐπιπλοκήν· ὧν τὸ δεύτερον ἀμετάβολόν ἐστιν, ἀπὸ παρατατικοῦ οὐ κλίνεται ὡς βαρύτονα· ὀφλῶ· δάκνω. Τὰ διὰ τοῦ νύω ὑπὲρ δύο συλλαβὰς, εἴτε ἔχοι κατ' ἐπιπλοκὴν σύμφωνον, ἢ κατὰ διαίρεσιν, ἀπὸ παρεληλυθότων πετανύω· κεραννύω· πηγνύω· σαρωννύω· δεικνύω· ἀκλύω. Καὶ τὰ ἀττικῶς βαρυτονηθέντα, ἕως παρατατικοῦ ὡς βαρύτονα· ἀπὸ παρακειμένου, ὡς περισπώμενα· αὔξω· ἀλέξω· ἕψω· ῥόφω. Καὶ τὰ δι' ἑνὸς λ πρὸ τοῦ ω ἐκφερόμενα, ἕως τοῦ παρατατικοῦ ὡς βαρύτονα· ἀπὸ δὲ παρακειμένου ὡς περι-

σπώμενα. μέλω. κέλω. πέλω. θέλω. Καὶ τὰ διὰ τῶν δύο σσ αἰολικά. ἕως τοῦ παρατατικοῦ ποιεῖ τὴν κλίσιν τῶν δύο σσ. ὄσσω. πέσσω. τὸ πέπτω. οὗ ὁ μέλλων πέψω. ἐκ δὲ τοῦ ὄπτω ἐστὶ τὸ ὄψομαι. Τὸ δὲ πίπτω ἕως τοῦ παρατατικοῦ κλίνεται. τὸ γὰρ πέπτωκα, οὐκ ἀκόλουθον πρώτης συζυγίας. ἀλλ' ὡς ἐσχηματισμένον λέγουσι. Τὸ γὰρ πίπτω αἰολεῖς πίσω. Ὁ μέντοι ἔπεσον δεύτερος ἀόριστος, ἀπὸ θέματός ἐστι περισπωμένου τοῦ πεσῶ. ἔνθεν καὶ τὸ πέσημα ῥηματικόν. ὡς φυσῶ, φύσημα. ἐστὶ γὰρ καὶ ἄλλα τινὰ μονήρη ἀκλινόμενα, ἀκολούθως εἰς παρακειμένους ὡς ἔχει τὸ λώσω. Τὸ ἐλαύνω, ἕως τοῦ παρατατικοῦ.

Τὸ δὲ πάσχω εἰς τὸν μέσον παρακείμενον πέποχα. Ἔστι δὲ καὶ ἄλλα τινὰ τοιαῦτα. καὶ τὸ ἐσθίω δὲ τρίτο. καὶ τὸ ἀτίω σύνθετον. πᾶς τις, πλούσιον ἄνδρα τιᾷ. ἀτιεῖ δὲ πενιχρόν. Καίτοι γε τοῦ ἁπλοῦ κλινομένου. τίσω δέ μιν ἶσον ὀρέστῃ. καὶ τὸ ἀλέγω σύνθετον. Καὶ τὸ ἀπινύσσω. τὸ γὰρ καίω, κλίνεται. Τὰ εἰς ω καθαρὸν διφθόγγῳ τῇ διὰ τοῦ υ παραληγόμενα, μέσους παρακειμένους οὐ ποιεῖ. οὐδὲ δευτέρους ἀορίστους παθητικούς. οὐδὲ μέσους ὑπερσυντελίκους. οὐδὲ μέσους ἀορίστους τούτων. χαύω. ψαύω. καὶ ὅσα τοιαῦτα. βασιλεύω. στρατεύω. παιδεύω. καὶ ὅσα τοιαῦτα. λούω. κρούω. διὸ ἐπιστατέον πῶς ἐγένετο ἀττικὸς, ὁ ἀκήκοα. οὐδὲ γὰρ ἔχομεν μέσον παρακείμενον. Τὰ διὰ τοῦ υω ὑπὲρ δύο συλλαβὰς, μέσους παρακειμένους οὐ ποιεῖ. οὔτε μέσους ὑπερσυντελίκους. οὐδὲ δευτέρους ἀορίστους. οὐδὲ τοὺς παθητικοὺς, οὐδὲ τοὺς μέσους. ὥστε τοῦ ἤρτυκα καὶ ἴσχυκα καὶ τῶν τοιούτων, μὴ ζητεῖν τοὺς παρακειμένους. Καθόλου οὐδεὶς περιττοσυλλαβεῖ ἀπὸ συμφώνου ἀρχόμενος ἢ τοῦ ε μόνου. ἀληθὲς δὲ ἐστὶν, ὅτι οἱ μέσοι παρακείμενοι ἀπὸ περισπωμένων, μιᾷ ἐνδοῦσι συλλαβῇ τῶν ἐνεργητικῶν. δεδούπηκα, δέδουπα. δῆλον ὅτι τὸ ἔσμηκα. κέκληκα. κέκμηκα. δέδορκα. πέπρακα. τῶν τοιούτων οἱ μέσοι παρακείμενοι, οὐ συστήσονται εἰς δισυλλα-

βίαν προαγόμενοι. καὶ δῆλον ὅτι ἀκολούθως, οὐδὲ ὑπερσυντέλικοι. Τὰ εἰς ται λήγοντα παθητικὰ παρακειμένου χρόνου ἔχοντα πρὸ τοῦ τ σύμφωνον, εἰς μετοχὴν ἔχει τὰ τρίτα τῶν πληθυντικῶν· διὰ τὸ μὴ δύνασθαι τὸ ν δέξασθαι. εἰ δὲ καθαρεύοι, ἐπεισόδιον τοῦ ν ποιεῖ τὰ πληθυντικά. λέλυνται· μενόηνται· πεφίληνται· ἔξυσται ἢ ἐξυσμένοι εἰσίν. Ἀκολούθως τούτῳ καὶ τὰ τῶν ὑπερσυντελίκων· ἐξυσμένοι ἦσαν. Ἔτι δέ τινα, καὶ τὰ καλούμενα ἑτερόκλιτα, ὡς ὀνόμασιν ἑτερογενῆ, καὶ ἑτερόπτωτα, ὧν οὐ δεῖ βιάζεσθαι τὰς ἄλλας φωνάς. οἷον ἔσθω, βέβρωκα· ἔφαγον· ἔδομαι· φέρω· ἤνεγκα· οἴσω. ἔστι μὲν, ὅτε ποιητικὴ βιάζεται διάλεκτος. Ἡ πρώτη συζυγία τῶν περισπωμένων, σπανίως μὲν· κλίνεται δέ, εἰς μέσους παρακειμένους· δεδουπώς· λεληκώς·· ἔχει δὲ καὶ δευτέρου ἀορίστου· ἤμβροτον· ὤλισθον· ἔχραισμον· ηὗρον· καὶ ἄλλοι δὲ εἰς τοῦτο δυνάμενοι συστῆναι. Ἡ δευτέρα δὲ συζυγία τῶν περισπωμένων σπανιωτέρα, καὶ ἐλάττων τῆς πρώτης, καὶ εἰς μέσους παρακειμένους, καὶ δευτέρους ἀορίστους· μεμυκὼς ἤυτε ταῦρος. Ἡ δὲ τρίτη συζυγία τῶν περισπωμένων οὐκ ἐδέξατο· οὔτε μέσους παρακειμένους· οὔτε μέσους ὑπερσυντελίκους· οὔτε δευτέρους ἀορίστους. Χρὴ δὲ γινώσκειν ὅτι δεύτεροι ἀόριστοι παθητικοὶ, σπάνιοι εἰσὶν ἀπὸ περισπωμένων· τὸ γὰρ ἐσφάλην, ἀμφίβολον ὥστε ἄντικρυς μὴ ὁρίζεσθαι περὶ αὐτῶν· καὶ οὐκ εἰσὶ δηλονότι, οὐδὲ ὀφείλουσι δεύτεροι μέλλοντες. Ἐπιζητεῖ τὸ γενήσομαι ποίου χρόνου ἐστί· προτείνει Τρύφων ἐν τοῖς ἐλέγχοις. Τὰ εἰς μαι λήγοντα, μέσους παρακειμένους οὐδέποτε ἐπεδέξατο· οὐδὲ μέσους ὑπερσυντελίκους· οὐδὲ δευτέρους ἀορίστους παθητικούς· οὐδὲ μέσους· οὐδὲ μετὰ τρίτον μέλλοντας. Τῶν εἰς μι ληγόντων ἡ πρώτη συζυγία ῥήματα οὐκ ἔχει πολλά. τό, τε γὰρ τίθημί ἐστι, καὶ τὸ ἵημι· ὡσαύτως τῆς τρίτης συζυγίας, ἓν· τὸ δίδωμι. Ἡ δὲ τετάρτη συζυγία τῶν εἰς μι, οὐ κλίνεται· ὑπομνήσεις μὲν ποιεῖται, ὥσπερ

ἐπὶ τρίτης καὶ δευτέρας καὶ πρώτης. Ἔστι δέ τινα δυνάμενα κατὰ συζυγίαν, εἰς δευτέραν χωρεῖν· ὡς τὸ πίμπλημι· καὶ πίμπρημι· καὶ τὸ γῆρας δὲ καὶ τὸ γηράντος· καὶ τὸ γηράναι τὸ ἀπαρέμφατον ἀπὸ δευτέρας τῶν εἰς μι· τὸ δὲ γήρεος καὶ ἀνδρὸς γηροῦντος, ἀπὸ πρώτης. Καὶ ἄλλα πολλὰ τοιαῦτα ῥήματα ἐνδείκνυται τὴν ἀπὸ τῶν εἰς μι κίνησιν· ὥσπερ καὶ τὸ κεῖμαι καὶ τὸ ἧμαι· ἀλλὰ καὶ ἐπὶ δευτέρας συζυγίας. Τὸ γὰρ ἔραμαι καὶ ἄγαμαι καὶ δύναμαι. Καὶ τὸ παρὰ Δωριεῦσι πέπαμαι, διὰ τοῦ πρώτου ὁμολογεῖ δευτέραν συζυγίαν· τοιοῦτο δὲ, καὶ τὸ ἔφθην· τοιαύτη δὲ καὶ ἡ τρίτη τῶν εἰς μι. Καὶ γὰρ τὸ ἔγνων ἔβην ἐξ αὐτῆς εἰσι κινήματα· ἀλλ᾽ οὖν καὶ τὰ θέματα ῥητά· οὔτε κλινόμενα. Ἡ δὲ τετάρτη, ὑπομνήσεις ἔχει ὥσπερ ἔχευ ἔφυν ἔφυς ἔφυ. Καὶ τὸ ἔδυν ἔδυς ἔδυ· τοιοῦτον δέ ἐστι καὶ τὸ χεῦτο ἐκχυνόμενοι, καὶ ὅσα ἄλλα τοιαῦτα ὑπόμνησιν ποιούμενα, οὐ κλίσεις συνεχεῖς. Ἐπὶ δὲ προστακτικῆς ἐγκλίσεως εὑρητικοὶ μὲν παρακείμενοι καὶ ὑπερσυντέλικοι εὑρέθησάν τινες ἀπὸ βαρυτόνων· ὡς τὸ πέπεισθε· κέχαθε· Καὶ ἄλλα πολλά. Ἀπὸ μέντοι περισπωμένων, οὐχ εὕρομεν χρῆσιν ἑαυτῶν· ἑαυτοῖς δὲ φωνὰς παρατίθενται· τὸ νενόηθε, καὶ τετέλεσθε· τὸ δὲ παρὰ Νικοσικράτης λεγόμενον εὕρηκεν, ἀπὸ θέματός ἐστι τοῦ εὑρήκω.

Εἰώθασι γὰρ οἱ παρακείμενοι τρέπειν τὸ α εἰς ω, καὶ ποιεῖν ἐνεστῶτα· πολὺ δὲ τὸ τοιοῦτο ἔθος παρὰ Συρακουσίοις· ὄλωλα, ὀλόλω· δέδοικα, δεδοίκω· ἀλλὰ μὴν, καὶ τὸ κέκλυκε παρ᾽ Ἐπιχάρμῳ· ἀπὸ θέματος τοῦ κεκλύκω. Σπάνιοι δὲ καὶ οἱ μέσοι παρακείμενοι εἰσὶν ἐν ἑνικῷ ἀριθμῷ· ἡ μέντοι συνήθεια, οὕτως ἀποφαίνεται· νενοηκὼς ἴσθι, καὶ πεποιηκὼς ἴσθι.

Καὶ ἐπὶ εὐκτικῆς δὲ ἐγκλίσεως, οὐ συνίστανται παρακείμενοι, καὶ ὑπερσυντέλικοι· ἐὰν οἱ παθητικοὶ παρακείμενοι, πρὸ τοῦ μαι σύμφωνον ἔχωσιν ἢ δίφθογγον τὴν διὰ τοῦ υ, μετοχῇ μέντοι προσχρώμεθα· καὶ τῷ εἴην εὐκτικῷ· οὕτω τέτυμμαι, τετυμμένος εἴ-

ην· πεπαίδευμαι, πεπαιδευμένος εἴην. Εἰ μέντοι πρὸ τοῦ μαι
μὴ ὑπάρχοι σύμφωνον, ἢ δίφθογγον διὰ τοῦ υ, συνίσταται ἡ φωνή·
μέμνημαι, μεμνήμην· πρὸ τοῦ η τὸ ι ὑπάρχει· δέδομαι, δεδοίμην·
λέλυμαι, λελύμην· ἐνθάδε μὴ ἐπετέθη τὸ ι διὰ τὸ ἀσύντακτον·
κέκλημαι, κεκλήμην· καὶ πολλή ἐστιν ἡ τοιαύτη χρῆσις. ἐφικτὸν
μέντοι ἐστὶ καὶ ἐπὶ τῶν τοιούτων μετοχῇ πάλιν χρῆσθαι μετὰ τοῦ εἴ-
ην· ὡς ὁ ποιητὴς ἐχρήσατο εἰπών· μὴ δὴ ὑπὲρ Τηλεμάχοιο κε-
κλημένος εἴην. Καὶ τὰ ὑποτακτικὰ τῆς ἀναλογίας ἔχεται
τῶν ὀριστικῶν· ἐπὶ μὲν τοῖς ὀριστικοῖς τετυμμένος εἴην, ἐὰν τετυμμένος
ὦ καὶ τὰ ὅμοια. κἂν τὸ υ ὑπάρχῃ ἢ δίφθογγος ἐξ αὐτοῦ τοῦ πρὸ
τοῦ μαι· ἐὰν λελυμένος ὦ· ἐὰν πεπαιδευμένος ὦ. Εἰ μέν-
τοι καθαρεύοι καὶ μὴ ἔχῃ τὸ υ πρὸ τέλους, ὅτε συνίσταται τὰ
ὑποτακτικά· μέμνημαι, ἐὰν μεμνῶμαι· πρὸ τέλους οὔσης τῆς πε-
ρισπωμένης· τέτρωμαι, ἐὰν τετρῶμαι. Ἔστι δὲ καὶ χαρακτῆρι ἐνερ-
γητικῷ κεχρημένα, ἅπερ ἤτοι εἰς παθητικὴν διάθεσιν με-
ταβήσεται, ἢ οὔ· ἐκεῖνα οὖν μεταβαίνει, ὅσα πρὸς γενικὴν ἔχει σύντα-
ξιν, ἢ αἰτιατικήν· δεσπόζω σου, δεσπόζομαι ὑπὸ σοῦ· τύπτω σε,
τύπτομαι ὑπὸ σοῦ. Εἰ δὲ μὴ οὕτως ἔχει, οὐκέτι· ὥσπερ ἔχει τὸ
ζῶ· πλουτῶ· ὑπάρχω· εἰμί· τὸ γὰρ ἤμην ἢ ἔσομαι, μέσα ἐστίν· ὑγι-
αίνω· χέζω· οὐρῶ· κομῶ· ἐπὶ δευτέρας συζυγίας καὶ τὰ τοιαῦτα·
καί τοι γε ἐνεργητικὰ ὑπάρχοντα· ἀριστῶ· δειπνῶ· βρέχω· καὶ τὸ
βρέχω δὲ εἰ λάβοι πρόθεσιν τὴν κατὰ βρέχω, ἕξει παθητικόν· ἐ-
πεὶ συντέτακται τῇ γενικῇ τῇ καταβρέχω σου· καὶ καταβρέχο-
μαι ὑπὸ σοῦ. Τὸ παλαίω δὲ καὶ τὸ παγκρατιάζω, οὐκ ἔχει
παθητικά· δοτικῇ γὰρ συντέτακται. Καὶ ἐξ ἴσης διαθέ-
σεως ἀνάγεται· τύπτει γὰρ καὶ τύπτεται ὁ παγκρατιάζων. πά-
λιν γοῦν τὸ παλαίω, εἰ λάβοι τὴν κατὰ καὶ γένοιτο καταπα-
λαίω σε, γένοιτο ἂν καὶ παθητικόν· καταπαλαίομαι ὑπὸ σοῦ.
Εἴ τις δὲ ἀκριβῶς ἐξετάζοι, καὶ τοῦ δίδωμί σοι καὶ τοῦ τέμνω σοι,
πρὸς δοτικὴν συντασσομένων, οὐκ ἀποφαίνεται παθητικά, πε

ἐπιτήδειος γάρ ἐστι, καὶ οὐκ ἐνέργεια. τότε μὲν γάρ τοι ἔσται τὸ τέμνομαι ἢ δέρομαι, ὁπότε ἐστὶ τέμνουσί σε καὶ δέρουσί σε. ἵνα τὸ τεμνόμενον ἢ δερόμενον ὁμολογήσῃ τὸ πάθος. Τί γὰρ ἂν εἴη παθητικὸν ἢ πρόσωπον ὁμολογοῦν τὴν εἰς αὐτὸ χωρησάντων διάθεσιν. Καὶ τὸ δέμω δὲ καὶ τὸ τρέμω καὶ φρίσσω καὶ τέμνω καὶ φεύγω, οὐκ ἔχει παθητικά. καίτοι γε δοκεῖ αἰτιατικῇ συντάσσεσθαι· φεύγω σε. φρίσσω σε. τρέμω σε. καὶ τὰ ὅμοια. οὐκ ἔχει δὲ οὕτως. οὐ γὰρ ὃν τρόπον ἐν τῷ τύπτω σε αἰτιατικὴ ἡ τυπτομένη, οὕτω καὶ ἐν τῷ φρίσσω σε. ἔστιν οὖν ἐν τῇ τοιαύτῃ συντάξει, ἡ διὰ πρόθεσις. φρίσσω διὰ σέ. καὶ τὰ ὅμοια. Τοιαῦτα δὲ καὶ τὰ πάθος ὑπισχνούμενα μὴ ἐπιζητοῦντα παθητικὴν φωνήν. πάσχει. τύπτει. θνήσκει. κοπιᾷ. ὀφθαλμιᾷ, πυρέσσει. φθίνει. ῥιγοῖ. ἱδροῖ. ἐκ δὲ τοῦ ἐναντίου, ἔστι τινὰ εἰς μαι χαρακτῆρι παθητικῷ κεχρημένα. ἅπερ οὐκ ἔχει τὴν σύνταξιν τῆς παθητικῆς διαθέσεως. τουτέστι γενικὴν πτῶσιν μετὰ τῆς ὑπὸ προθέσεως. τύπτομαι ὑπὸ σοῦ. δέρομαι ὑπὸ σοῦ. Τὰ γὰρ τοιαῦτα ἔχει ἐνεργητικά. τύπτω σε. δέρω σε. τὰ δὲ μὴ ἔχοντα τὴν τοιαύτην σύνταξιν, οὐκ ἔχει, ὡς ἔχει τὸ ὗχομαι. ἔρχομαι. μάχομαι. πορεύομαι. χαρίζομαι. ἀρῶμαι. φθέγγομαι. προαιροῦμαι. βούλομαι. ἱππάζομαι. δωροῦμαί σοι. τὸ δὲ ἔρχομαι καὶ ἐνεργητικόν ἐστι τῷ σημαινομένῳ. τὸ δὲ βιάζομαι, δύο συντάξεις ἀνέχεται. βιάζομαί σε, καὶ βιάζομαι ὑπὸ σοῦ. διὸ περιττὸν καὶ ἐνεργητικὸν ζητεῖν τούτου, ἅτε δὴ καὶ μιᾶς φωνῆς, ἐν διαφόροις συντάξεσι τὰς δύο διαθέσεις ἔχοντος τοῦ ῥήματος. Τετόλμηται μέντοι παρὰ τῷ ποιητῇ πλεονάκις, ἐνεργητικὸν κατὰ φωνὴν εἰρῆσθαι. Εὐρύλοχε μάλα δή με βιάζετε μοῦνον ἐόντα. Τοσαῦτα εἰπεῖν ἐν συντόμῳ ὑπὲρ τοῦ μὴ περὶ ἓν ῥῆμα, μήτε εἰς χρόνους διαφόρους κινεῖν. μήτε εἰς διαφόρους διαθέσεις.

ΤΕΛΟΣ.